eul_wid: tyc-cp

*Ζώσιμος ὁ Πανοπολίτης* · Zosimus of Panopolis

# On Soot

## *Περὶ αἰθαλῶν*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

ΠΕΡΙ ΑΙΘΑΛΩΝ Αἰθάλαι δὲ λέγονται διὰ τὸ ἀπὸ κάτωθεν 〈εἰσ〉 ἄνω τὰς τέφρας, πρὸς ὕψος ἀναπέμπεσθαι τὰς οὐσίας, ἥτις δηλοῖ τὴν τῶν ὑδάτων ἀναγωγήν. Καὶ πάλιν αἰθάλαι λέγονται διὰ τὸ ἀπὸ τῶν κάτω ἐπὶ τὸ ὕψος χωρεῖν. Ποιήσαντες αὐτοῦ τὴν διήγησιν ἐν τῇ τῶν αἰθαλῶν ἤγουν σταγόνων ἐκμυζήσει, τὰς σκωρίας τε ἀπὸ τῆς χύτρας ἄραντες ἐλείωσαν, καὶ βαλόντες αὐτὰς τὰς ἀπ' αὐτῶν ἐξελθούσας ψυχάς. Ψυχαὶ γὰρ αὖται τῶν σωμάτων ἀφ' ὧν ἐξῆλθον, πάλιν ἀνεκομίσαντο ταύτας διὰ τοῦ μασθωτοῦ, φάσκοντες ταύτην εἶναι τὴν ἴωσιν, ἀναλογήσαντες 〈ἐκ〉 τῶν πολυχρονίων σήψεων.

2 251 Καὶ προσέπλεξαν 〈μετὰ〉 τῶν λοιπῶν αἰθαλῶν, ἃς καλοῦσι σώματα, καὶ ἡμεῖς σῶμα, καὶ θεῖα, καὶ θειώδη, καὶ πέταλα χαλκοῦ ἢ ἀσήμου ἢ χρυσοῦ. Καὶ οὕτως εἰργάσαντο τὴν βαφὴν ἐπὶ τῶν ὑπηρετικῶν ὑλῶν, τῆς δευτέρας αὐτῶν ὑποστάθμης οὐδένα ἀποτίσαντες λόγον. Καὶ ἀπέδειξεν τὸ διὰ τῶν τεφρῶν ἀποσταζόμενον ὕδωρ, εἰπών· «Καὶ θεὶς τὸ ὄργανον, ἀνακομίζου τὰς τέφρας.» Εἰ οὖν ἡ τέφρα ἐστὶ τὸ διοργανισθὲν ὕδωρ, καὶ διὰ τοῦτο καὶ ὁ Ἀγαθοδαίμων · «Ὅλως ἡ τέφρα ἐστιν.» Ἕψησις δὲ αὕτη τυγχάνει ἢ καὶ ὄπτησις, ἥτις λείωσις ὀνομάζεται· δηλονότι διὰ σήψεως, καὶ ἀνασπάσεως, καὶ ἰώσεως, καὶ παροπτήσεως, λέγοντες οἱ ἀρχαῖοι τὸ πᾶν ἀπαρτίζεσθαι. Καὶ ἀδύνατόν ἐστιν ἄλλως οἰκονομεῖσθαι τὴν ποίησιν τοῦ συνθέματος. Τὴν γὰρ ἕψησιν, καὶ ἀνάσπασιν λείωσιν οἴδασιν οἱ ὑποφῆται τῆς ἐπιστήμης· καὶ τὴν ἴωσιν, ἕψησιν, τὴν δὲ ἕψησιν καὶ ἀνάσπασιν λείωσιν ὠνόμασαν διὰ τὴν ἄγαν ἐκλέπτυνσιν. Καὶ πάλιν τὸ πῦρ ὠνόμασαν διὰ τὸ θερμαίνειν καὶ καίειν καὶ φωτίζειν 〈καὶ〉 παιδίου παίγνιον καὶ γυναικὸς ἔργον ἔφασαν οἱ παλαιοὶ τὸ ζητούμενον τοῖς νοήμοσιν. Ἀλλ' οὐ διὰ τοῦτο ἀναγκασθησόμεθα πάντως διὰ πυρὸς τὴν ἴωσιν κατεργάζεσθαι, ὡς ἐπὶ τῶν βαπτομένων λίθων, τουτέστιν ὑδάτων ἀναγωγῆς καὶ τὴν ἐκ ψυχρᾶς τελουμένην πορφύραν. Λέγω δὴ 〈ὅτι〉 σαφῶς ἡμᾶς ἡ πεῖρα διδάξει εἰ τὸ ἀληθὲς, ἓν ἔργον τέλειον καὶ ἄφευκτον ἐπιτελοῦσα ξηρίον. Μετὰ δὲ τὴν τούτου ἰοποίησιν, ἀνεκομίσαντο αἰθάλας, καὶ προσέπλεξαν 〈μετὰ〉 τῶν λειπομένων σκωριῶν, καὶ οὕτως ἔσχον τὸ πέρας, ἐντεῦθεν ξηρίον τοῖς σώμασιν ἐπιβάλλοντες διὰ τὸ λέγειν Ζώσιμον · «Οὕτω γὰρ τὰ μὲν πνεύματα σωματοῦνται, τὰ δὲ νεκρὰ σώματα ἐμψυχοῦνται, τῆς ἀπ' αὐτῶν ψυχῆς πάλιν αὐτοῖς εἰσκριθείσης, καὶ θεῖον ἔργον ἀποτελοῦσιν, ἀμφότερα ἄλληλα κρατοῦντα καὶ ὑπ' ἀλλήλων κρατούμενα.

2 252 Τὸ γὰρ φεῦγον πνεῦμα τοῦ διώκοντος σώματος ἔτυχεν, διδαχθέντος ἤδη πυριμάχειν ἐν τῷ πυρί. Καὶ τοῦτο ἐστιν, ὡς οἶμαι, τὸ τοῦ φιλοσόφου ὕδωρ ἀσβέστου ἢ σανδαράχης, ὕδωρ νίτρου,

ὕδωρ φέκλης, τὸ ἀπὸ τῆς τέφρας τῶν θειωδῶν σκευαζομένων, ὕδωρ πρωτόστακτον.» Δεῖ οὖν αὐτὴν ἀποστάζειν ὡς τὴν σαπωναρικὴν στάκτην, καὶ ἔχειν αὐτῆς τὰ ὕδατα· σαπωναρικὴ δὲ, φησὶ, στάκτη οὐδέποτε ἐξαιθαλοῦται, ἀλλὰ καταστάζεται. Πῶς οὖν, ὦ ἀγαθοὶ, Ζώσιμός φησιν ὅτι οὐδαμοῦ ἕστηκεν ὁ νοῦς τῶν γραφῶν, εἰ μὴ ἐν τῷ ὀργανισμῷ τῷ ἀνασπῶντι τὸν χαλκόν· καὶ ὅτι τὸ πέρας τῆς τέχνης ὧδε οὐκ ἦν, ἀλλ' ἐν τῷ διοργανισμῷ καὶ τῇ τούτου πήξει. Ἕτεροι δὲ μόνον τοῖς ληκύθοις ἔχρισαν ἐπ' ἄμφω τῷ συνθέματι, καὶ ἀνακομισάμενοι τὸ ὕδωρ, προσέπλεξαν τῇ οἰκείᾳ ἀσβέστῳ λειώσαντες ἐν θυείᾳ, οὐ σταθμῷ, ἀλλ' ὅσον ὑπερέχει τὸ ξηρὸν τοῦ ὑγροῦ, δακτύλους δύο, ἢ τρεῖς, ἢ τέσσαρας. [20]

Eulogikon public reading copy · View original HTML at eulogikon.org